eul_wid: hps-ar

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

# Double Deceiver

## *Διπλοῦς Ἀπατεών*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

11 (ΜΟΣΧΟΥ ΠΑΤΗΡ)
11.1 [ σ]ὺ δ’ ἐκεῖνον ἐκκάλει
11.2 [ ]ν, νουθέτει δ’ ἐναν[τίον
11.3 αὐτόν τε σῶσον, οἰκίαν θ’ ὅλην φίλων.
11.4 Λυδέ, προάγωμεν.
14 (ΛΥΔΟΣ) εἰ δὲ κἀμὲ καταλίποις—
15 (Μ.π) προάγωμεν· ἱκανὸς οὗτος.
15.1 Λυ αὐτῶι, Σώστρατε,
15.2 χρῆσαι πικρῶς, ἔλαυν’ ἐκεῖνον τὸν ἀκρα[τῆ.
15.3 〈ἅ〉 παντας αἰσχύνει γὰρ ἡμᾶς τοὺς φίλους.
15.4 (ΣΩΣΤΡΑΤΟΣ)
18.1 ἤδη ’στιν οὗτος φροῦδος. ενπλη[
18.2 τούτου καθέξει. Σώστρατον προήρπασας.
20.1 ἀρνήσεται μέν, οὐκ ἄδηλόν ἐστί μοι—
20.2 ἰταμὴ γάρ—εἰς μέσον τε πάντες οἱ θεοὶ
20.3 ἥξουσι. μὴ τοίνυν [.]ον[
20.4 κακὴ κακῶς τοίνυν—ἐ[π]άν[αγε, Σ]ώστρατε·
20.5 ἴσως σε πείσει· δοῦλο[
25.1 ἐγὼ μάλισθ’, ἡ δ’ ὡ[ς κενὸν συ]μπεισάτω
25.2 ἔχοντα μηδ[έν· τ]ῶι πατρὶ
25.3 τὸ χ]ρυσίον· πιθαν[ευομέν]η γὰρ παύσεται
25.4 ὅταν] ποτ’ αἴσθητα[ι, τὸ τῆς πα]ροιμίας,
25.5 νεκρῶι] λέγουσα [μῦθον. ἀλλ’] ἤδη [με] δεῖ
30 ἐλθεῖν ἐπ’ ἐ]κεῖνον.
47.1 [ΣΩΣΤΡΑΤΟΥ ΠΑΤΗΡ] [ἔ]δωκεν δέ σοι [τ]ὸν τόκον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

47.2 (Σω) [ ].ειδον· μηδὲ ἓν [ ἐγκ]άλει χρηστῶι ξένωι.
47.3 [ ἥ]κω κομίζων δεῦρό σοι
47.4 [Σ.π] [ ]σα· τ[ὸ χρυ]σίον [δό]θ’ ὑμεῖς, παῖ, ταχύ.
47.5 (Σω) [ π]αρ’ [ἡ]μῶν· μὴ πρόσεχ’ ἐκείνωι λόγωι.
47.6 οὐδεὶς] παρώρμης’ οὐδ’ ἐπεβούλευς’ οὐδὲ εἷς.
55.1 (Σ.π) οὐ πρὸς Θ]εότιμον κατετέθη τὸ χρυσίον;
55.2 (Σω) τί “πρὸς Θ]εότιμον”; αὐτὸς ἐφύλαττεν λαβὼν
55.3 τ[ό τε πρὸ]ς βίον διφορεῖ, πάτερ.
57.1 (Σ.π) χρηστὸς σφόδρα·
57.2 ἐφ[ρόντι]σέ τι. τί οὖν ὁ Σύρος ἐβούλετο;
57.3 (Σω) ἐ[ατέο]ν. μετ’ ἐμοῦ δ’ ἀκολούθει καὶ λαβὲ
60 τὸ χρυσίον.
60 (Σ.π) παίζεις;
60.1 (Σω) ἀκολούθει καὶ λαβέ.
60.2 (Σ.π) οὐκοῦν ἀκολουθῶ· δὸς μόνον, καλῶς τέ μοι
60.3 ὡς [δεῖ] κέχρησαι· πρὶν λαβεῖν μάχομαί τι σοι;
60.4 ἐμοὶ δὲ πάντων τοῦτο προὐργιαίτερον.
63 ΧΟΡΟΥ
63 (uersus laceri xxvi)
89 [Σω] [ ].μοι.
89 (Σ.π) ταῦτ’ ἄπειμι πρὸς ἀγορὰν
90.1 πρ]άττ[ων. ὅ] τι πράττῃς ἄλλο δέδοται τοῦτό σοι.
90.2 Σω κα]ὶ μ[ὴν δο]κῶ μοι τὴν καλήν τε κἀγαθὴν
90.3 ἰδεῖν ἐρωμένην ἂν ἡδ[έ]ως κενὸς
90.4 πιθανευομένην καὶ προσδοκῶσαν—“αὐτίκα”
90.5 φησὶν δ’ ἐν αὑτῆι—πᾶν ὃ κομίζω χρυσίον.
95.1 “πάνυ γὰρ κομίζει τοῦτο καί, νὴ τοὺς θεούς, ἐλευθερίως—τίς μᾶλλον; —ἀξίως τ’ ἐμοῦ.”
95.2 αὕτη δ’ ἱκανῶς, καλῶς ποοῦσά γ’, εὑρέθη
95.3 οἵα〈ν〉 ποτ’ ᾤιμην οὖσα, τὸν δ’ ἀβέλτερον
95.4 Μόσχον ἐ.ε..· καὶ τὰ μὲν ἔγωγ’ ὀργίζομαι, τὰ δ’ οὐκ ἐκεῖνον τοῦ γεγονότος αἴτιον
95.5 ἀδικήματος νενόμικα, τὴν δ’ ἰταμωτάτην
95.6 πασῶν ἐκείνην.
101.1 ΜΟΣΧΟΣ εἶτ’ ἀκούσας ἐνθάδε
101.2 εἶναί με, ποῦ γῆς ἐστι; χαῖρε, Σώστρατε.
101.3 Σω καὶ σύ.
103.1 〈Μο〉 τί κατηφὴς καὶ σκυθρωπός, εἰπέ μοι;
103.2 καὶ βλέμμα τοῦθ’ ὑπόδακρυ· μὴ νεώτερον
105.1 κακὸν κατείληφάς τι τῶν [γ’] ἐνταῦθα;
105.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Σω) ναί.

105.3 (Μο) εἶτ’ οὐ [λέ]γεις;

107 (Σω) ἔνδον γὰρ ἀμέλει, Μόσχε.

107.1 (Μο) πῶς;

107.2 (Σω) [ ]φιλοῦντα τὸν πρὸ τοῦ χρόνον

107.3 [ ]α· τοῦτο πρῶτον ὧν ἐμὲ

110 [ ]ἠδίκηκας.

110.1 (Μο) ἠδίκηκα δὲ

110.2 ἐγώ σε; μὴ γένοιτο τοῦτο, Σώστρατε.

110.3 (Σω) οὐκ ἠξίουν γοῦν οὐδ’ ἐγώ.

112 (Μο) λέγεις δὲ τί;

Eulogikon public reading copy · View original HTML at eulogikon.org